5 πείθομαι εὐμαρέως
εὐκλέα̣ κελεύθου γλῶσσαν οὐ̣[ – – ⏑ –
7 πέμπειν Ἱέρωνι· τόθεν γὰ[ρ
πυθμένες θάλλουσιν ἐσθλ[ῶν,
9 τοὺς ὁ μεγιστοπάτωρ
Ζεὺς ἀκινήτους ἐν εἰρήν[ᾱι φυλάσσοι.

## 6

## ΛΑΧΩΝΙ ΚΕΙΩΙ
## <ΠΑΙΔΙ> ΣΤΑΔΙΕΙ ΟΛΥΜΠ[ΙΑ

metrum: aeolicum (v. p. 16) Α′-Β′

| | | |
|---|---|---|
| 1 | ⏑ – ⏑ – ⏑ – – \| ⏑ ⏑ – ⏑ – ⏑ – – ‖ | *ia ba* \| *anacl* ‖ |
| 3 | – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – – \| ⏑ – ⏑ ⏑ – ⏑ ‖ | *2 cho ba* \| *‸pher* ‖ |
| 5 | – ⏑ – ⏑ – ⏑ – ‖ | *lec* ‖ |
| 6 | ⏑ – – ⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ ⏑ – ⏑ – – \| | *gl hipp* \| |
| 8 | ⏑ ⏑ – ⏑ – – ‖‖ | (*‸pher* ‖‖) |

Α′
Λάχων Διὸς μεγίστου
λάχε φέρτατον πόδεσσι
3 κῦδος ἐπ᾽ Ἀλφε̣οῦ̣ προχοαῖσ[ ⏑ – –
δι᾽ ὅσσα πάροιθεν
ἀμπελοτρόφον Κέον
6 ἄεισάν ποτ᾽ Ὀλυμπίᾱι
πύξ τε καὶ στάδιον κρατεῦ[σαν
στεφάνοις ἐθείρας
)—
Β′
νεανίαι βρύοντες.
σὲ δὲ νῦν ἀναξιμόλπου
3 Οὐρανίας ὕμνος ἕκατι Νίκ[ας,
Ἀριστομένειον
ὦ ποδάνεμον τέκος,

**196** οὐκ ἐκτὸς δίκας Jebb  **200** Blass alii
**6** **3** ΛΑΦΕΙΟΥ: ΑΛΦ **A**³: -φεοῦ Kenyon | ἀέθλων Housman, προχοαῖσ[σιν ἶσον Schwartz, -αῖσ[ι τοῖον (vel ῥέξας) Maehler



6 γεραίρει προδόμοις ἀοι-
δαῖς, ὅτι στάδιον κρατήσας
Κέον εὐκλέϊξας.

## 11

## ΑΛΕΞΙΔΑΜΩΙ ΜΕΤΑΠΟΝΤΙΝΩΙ
## ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗΙ ΠΥΘΙΑ

metrum: dactyloepitr. Α′–Γ′

| | | |
|---|---|---|
| *ΣΤΡ* | – – ⏑ ⏑ – ⏑ ⏑ – – | |
| | – ⏑ – – – ⏑ – – | – D – E – ‖ |
| 3 | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – ⏑ – – – ⏑ – – | – D E – ‖ |
| 5 | – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – ⏑ – – – ⏑ ⏑ – | D \| – D e – d¹ \| |
| 8 | – – ⏑ ⏑ – ⏑ ⏑ – | – D \| |
| 9 | – – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ – ⏑ – – | – D ⏓ e – ‖ |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – | – D – D \| |
| 12 | – – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ – ⏑ – – | – D ⏓ e – ‖ |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – ⏑ – – – ⏑ – – | – D – E – ‖‖ |
| *ΕΠ* | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – – | – D \| – D \| ⏑ e – \| |
| 3 | – ⏑ ⏑ – ⏑ ⏑ – | D \| |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – ⏑ – – – ⏑ – – | – D E – ‖ |
| 6 | – – ⏑ ⏑ – ⏑ ⏑ – | |
| | – – ⏑ – – – ⏑ – | – D – E ‖ |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ – ⏑ – | – D ⏓ e \| |
| 9 | – – ⏑ ⏑ – ⏑ ⏑ – | – D \| |
| | – – ⏑ ⏑ – ⏑ ⏑ – | – D ‖ |
| | – ⏑ – – – ⏑ – – – ⏑ – – | E – e – ‖ |

12 –⏑⏑–⏑⏑–
––⏑⏑–⏑⏑–
–⏑–––⏑––   –D–DE–|||

Α′
1 Νίκα γλυκύδωρε· [μόνᾱι γὰρ
σοὶ πατ[ὴρ ––⏑––
3 ὑψίζυ[γος –⏑⏑–
ἐν πολυχρύσωι <τ'> Ὀλύμπωι
5 Ζηνὶ παρισταμένα
κρίνεις τέλος ἀθανάτοι-
σίν τε καὶ θνατοῖς ἀρετᾶς·
8 ἔλλαθι, [βαθυ]πλοκάμου
κούρα Σ̣[τυγὸς ὀρ]θοδίκου· σέθεν δ' ἕκατι
10 καὶ νῦ[ν Μετ]απόντιον εὐ-
γυίων κ̣[ατέ]χουσι νέων
12 κῶμοί τε καὶ εὐφροσύναι θεότιμον ἄστυ·
ὑμνεῦσι δὲ Πυθιόνικον
παῖδα θαητ[ὸ]ν Φαΐσκου.

—

1 ἵλεῳι νιν ὁ Δα̣[λ]ογενὴς υἱ-
ὸς βαθυζώνο̣[ιο] Λατοῦς
3 δέκτ[ο] βλεφά[ρω]ι· πολέες
δ' ἀμφ' Ἀλεξ[ίδα]μον ἀνθέων
5 ἐν πεδίωι στέφανοι
Κίρρας ἔπεσον κρατερᾶς
ἦρα παννίκοι<ο> πάλας·
8 οὐκ ε̣[ἶ]δέ νιν ἀέλιος
κείνωι γε σὺν ἄματι πρὸς γαίᾱι πεσόντα.
10 φάσω δὲ καὶ ἐν ζαθέοις
ἁγνοῦ Πέλοπος δαπέδοις

**11** **1** μόνᾱι γὰρ Ed. Fraenkel, κλυτὰν γὰρ Snell **2** σοὶ πατὴρ τιμὰν ἔδωκεν Hense, τεθμὸν δέδωκεν Maehler **3** ὑψ. Οὐρανιδᾶν Jebb, Οὐρανίδας Snell **4** <τ'> Snell <δ'> Neue **8** ἔλληθι Wackernagel | βαθυπλ. Jebb **9** Blass **10–11** ΕΙ : ΓΥΊΩΝ: **A**[1] **11** Blass alii **21** ΝΙΚΟΙΠΑΛ: Kenyon | ΠΑΛΛΑΣ: **A**[3]



12 Ἀλφεὸ̣ν πάρα καλλιρόαν, δίκας κέλευθον
εἰ μή τις ἀπέτραπεν ὀρθᾶς,
παγξένωι χαίταν ἐλαίᾱι

—

1 γλαυκᾶι στεφανωσάμενον
πορτιτρόφο̣ν [Ἰταλ]ί̣[αν πάτ]ρ̣αν θ'ἱκέσθαι.
3 [ –⏑⏑–⏑⏑– ]
col. 24 παῖδ' ἐν χθονὶ καλλιχόρωι
ποικίλαις τέχναις πέλασσεν·
6 ἀ]λ̣λ' ἢ θεὸς αἴτιος, ἢ
γ]νῶμαι πολύπλαγκτοι βροτῶν
ἅ]μερσαν ὑπέρτατον ἐκ χειρῶν γέρας.
9 ν̣ῦν δ' Ἄρτεμις ἀγροτέρα
χρυσαλάλατος λιπαράν
Ἡμ]έρα τοξόκλυτος νίκαν ἔδωκε.
12 τ]ᾶι ποτ' Ἀβαντιάδας
β]ωμὸν κατένασσε πολύλ-
λ̣[ι]στον εὔπεπλοί τε κοῦραι·

)—

Β′
1 τὰς ἐξ ἐρατῶν ἐφόβησε<ν>
παγκρατὴς Ἥρα μελάθρων
3 Προίτου, παραπ̣λῆγι φ̣ρένας
καρτερᾶι ζεύξασ' ἀνάγκᾱι·
5 παρθενίᾱι γὰρ ἔτι
ψυχᾶι κίον ἐς τέμενος
πορφυροζώνοιο θεᾶς·
8 φάσκον δὲ πολὺ σφέτερον
πλούτωι προφέρειν πατέρα ξανθᾶς παρέδρου
10 σεμνοῦ Διὸς εὐρυβίᾱ.
ταῖσιν δὲ χολωσαμένα
12 στήθεσσι παλίντροπον ἔμβαλεν νόημα·

**30** Platt **31** ἤ τινα γὰρ ποτὶ γᾶι e.g. Maehler **39** Blass **45** ΠΑΡΆΠΛΗΓΙ: Kenyon, παραπλᾶγι Blass **54** ΒΑΛΕΝΟΜΜΑ: Kenyon

φεῦγον δ' ὄρος ἐς τανίφυλλον
σμερδαλέ͜αν φωνὰν ἰεῖσαι,

—

1 Τιρύνθιον ἄστυ λιποῦσαι
καὶ θεοδμάτους ἀγυιάς.
3 ἤδη γὰρ ἔτος δέκατον
θε͜οφιλὲς λιπόντες Ἄργος
5 ναῖον ἀδεισιβόαι
χαλκάσπιδες ἡμίθεοι
σὺν πολυζήλωι βασιλεῖ.
8 νεῖκος γὰρ ἀμαιμάκετον
βληχρᾶς ἀνέπαλτο κασιγνήτοις ἀπ' ἀρχᾶς
col. 25 10 Προίτωι τε καὶ Ἀκρισίωι·
λαούς τε διχοστασίαις
12 ἤρειπον ἀμετροδίκοις μάχαις τε λυγραῖς,
λίσσοντο δὲ παῖδας Ἄβαντος
γᾶν πολύκριθον λαχόντας

—

1 Τίρυνθα τὸν ὁπλότερον
κτίζειν, πρὶν ἐς ἀργαλέαν πεσεῖν ἀνάγκαν·
3 Ζεύς τ' ἔθελεν Κρονίδας
τιμῶν Δαναοῦ γενεὰν
καὶ διωξίπποιο Λυγκέο͜ς
6 παῦσαι στυγερῶν ἀχέων.
τεῖχος δὲ Κύκλωπες κάμον̄
ἐλθόντες ὑπερφίαλοι κλεινᾶι π[όλ]ει
9 κάλλιστον, ἵν' ἀντίθεοι
ναῖον κλυτὸν ἱππόβοτον
Ἄργος ἥρωες περικλειτοὶ λιπόντες,
12 ἔνθεν ἀπεσσύμεναι
Προίτου κυανοπλόκαμοι
φεῦγον ἄδματοι θύγατρες.

)—

Γʹ 1 τὸν δ' εἷλεν ἄχος κραδίαν, ξεί-
να τέ νιν πλᾶξεν μέριμνα·



3 δοίαξε δὲ φάσγανον ἄμ-
φακες ἐν στέρνοισι πᾶξαι.
5 ἀλλά νιν αἰχμοφόροι
μύθοισί τε μειλιχίοις
καὶ βίᾱι χειρῶν κάτεχον.
8 τρισκαίδε̣κα̣ μὲν τελέους
μῆνας κ̣α̣τὰ δάσκιον ἠλύκταζον ὕλαν
10 φεῦγόν τε κατ' Ἀρκαδίαν
μηλοτρόφον· ἀλλ' ὅτε δή
12 Λοῦσον ποτὶ καλλιρόαν πατὴρ ἵκανεν,
ἔνθεν χρόα νιψάμενος φοι-
νικοκ͜[ραδέμνο]ι̣ο Λατοῦς

—

1 κίκλη[ισκε θύγατρ]α̣ βοῶπιν,
col. 26 χεῖρας ἀντείνων πρὸς αὐγάς
3 ἱππώκεος ἀελίου,
τέκνα δυστάνοιο λύσσας
5 πάρφρονος ἐξαγαγεῖν·
"θύσω δέ τοι εἴκοσι βοῦς
ἄζυγας φοινικότ͜ριχας."
8 τοῦ δ' ἔκλυ' ἀριστοπάτ͜ρα
θηροσκόπος εὐχομένου· πιθοῦσα δ' Ἥραν
10 παῦσεν καλυκοστεφάνους
κούρας μανιᾶν ἀθέων·
12 ταὶ δ' αὐτίκα οἱ τέμενος βωμόν τε τεῦχον,
χραῖνόν τέ μιν αἵματι μήλων
καὶ χοροὺς ἵσταν γυναικῶν.

—

1 ἔνθεν καὶ ἀρηϊφίλοις
ἄνδρεσσιν <ἐς> ἱππότ͜ροφον πόλιν̄ Ἀχαιοῖς

**94** ΚΑΤΑΚΑΡΔΙΑΝ: Palmer **98–99** Kenyon **106** om. **A**, add. **A**$^3$ in margine superiore **114** <ἐς> Jebb | de πόλιν̄ cf. p. 13

ἔσπεο· σὺν δὲ τύχᾱι
ναίεις Μεταπόντιον, ὦ
χρυσέα δέσποινα λαῶν·
ἄλσος δέ τοι ἱμερόεν
Κάσαν παρ' εὔυδρον †προγο-
νοι ἐσσάμενοι† Πριάμοι' ἐπεὶ χρόνωι
βουλαῖσι θεῶν μακάρων
πέρσαν πόλιν εὐκτιμέναν
χαλκοθωράκων μετ' Ἀτρειδᾶν. δικαίας
ὅστις ἔχει φρένας, εὑ-
ρήσει σὺν ἅπαντι χρόνωι
μυρίας ἀλκὰς Ἀχαιῶν.

**119** sq. Κάσᾱ παρ' εὔυδρ. πόρον : ἔσσαν πρόγονοι Carey, Κάσαν παρ' εὔυδρον κτίσαν (Turyn) σταθμασάμενοι Maehler

# ΒΑΚΧΥΛΙΔΟΥ ΔΙΘΥΡΑΜΒΟΙ

## **15 = dith. 1**

## ΑΝΤΗΝΟΡΙΔΑΙ Η ΕΛΕΝΗΣ ΑΠΑΙΤΗΣΙΣ

metrum: dactyloepitr. Α' – Γ'

| | | |
|---|---|---|
| *ΣΤΡ* | — — ⏑ ⏑ — ⏑ ⏑ — | – D \| |
| | — — ⏑ ⏑ — ⏑ ⏑ — ⏒ — ⏑ — | – D ⏒ e \|\| |
| | ⏒ — ⏑ — — — ⏑ ⏑ — ⏑ ⏑ — | ⏒ e – D \| |
| | — — ⏑ — — — ⏑ — | – E \| |
| | — ⏑ — — — ⏑ — — — ⏑ — — | E – e – \| |
| | — ⏑ ⏑ — ⏑ ⏑ — — — ⏑ ⏑ — ⏑ ⏑ — | D – D \|\| |
| | — ⏑ — — — ⏑ — — — ⏑ — — | E – e – \|\|\| |
| *ΕΠ* | — — ⏑ — — — ⏑ ⏑ — ⏑ ⏑ — | – e – D \| |
| | — — ⏑ — — — ⏑ — — | – E – \| |
| | — ⏑ — — — ⏑ ⏑ — ⏑ ⏑ — | e – D \| |
| | — — ⏑ ⏑ — ⏑ ⏑ — — | |
| | — ⏑ — — — ⏑ — | |
| | — — ⏑ ⏑ — ⏑ ⏑ — | – D – E – D \| |
| | — — ⏑ — — — ⏑ — — | – E – \|\|\| |

col. 1 Α' Ἀντή]ν̣ορος ἀντιθέου
κεδνὰ πα]ρ̣ά̣κ̣ο̣ι̣τ̣ις Ἀθάνας πρόσπολος
⏒ — ⏑ — — ] Παλλάδος ὀρσιμάχου
— — ⏑ — — χ]ρυσέας
— ⏑ — — — ⏑ ]ν̣ Ἀργείων Ὀδυσσεῖ
Λαρτιάδαι Μενελ]ά̣ωι τ' Ἀτρεΐδᾱι βασιλεῖ
— ⏑ — — — βαθύ]ζωνος Θεανώ
—
— — ⏑ ⏑ — ⏑ ⏑ ]ον
— — ⏑ ⏑ — ⏑ ⏑ — ]ν προσήνεπεν·

**15** **7** ὥς ποτ' ἤντησεν β. Koerte